θῆκε θεοῖς Σαμόθρᾳξι, λέγων ὅτι τήνδε κατ' εὐχήν,
ὦ λαοί, σωθεὶς ἐξ ἁλὸς ὧδε θέτο.

## XXIX (21)

ὅστις ἐμὸν παρὰ σῆμα φέρεις πόδα, Καλλιμάχου με
ἴσθι Κυρηναίου παῖδά τε καὶ γενέτην.
εἰδείης δ' ἄμφω κεν· ὁ μέν ποτε πατρίδος ὅπλων
ἦρξεν, ὁ δ' ἤεισεν κρέσσονα βασκανίης.
[οὐ νέμεσις, Μοῦσαι γὰρ ὅσους ἴδον ὄμματι παῖδας
ἄχρι βίου πολιοὺς οὐκ ἀπέθεντο φίλους.]

## XXX (35)

Βαττιάδεω παρὰ σῆμα φέρεις πόδας, εὖ μὲν ἀοιδήν
εἰδότος, εὖ δ' οἴνῳ καίρια συγγελάσαι.

## XXXI (13)

— ἦ ῥ' ὑπὸ σοὶ Χαρίδας ἀναπαύεται; — εἰ τὸν Ἀρίμμα
τοῦ Κυρηναίου παῖδα λέγεις, ὑπ' ἐμοί.
— ὦ Χαρίδα, τί τὰ νέρθε; Χ. πολὺ σκότος. — αἱ δ' ἄνοδοι τί;
Χ. ψεῦδος. — ὁ δὲ Πλούτων; Χ. μῦθος. — ἀπωλόμεθα.
Χ. οὗτος ἐμὸς λόγος ὔμμιν ἀληθινός· εἰ δὲ τὸν ἡδύν
βούλει, Πελλαίου βοῦς μέγας εἰν Ἀίδῃ.